τιμούμενον. ἀπὸ δὲ τῆς αὐτοῦ τέχνης ὁρμώμενος, πάλιν τοῦ ἀλλαντοπώλου μέμνηται.

BISETVS. Διὰ τοῦτ' αὐτὸ ὅτι ἡ.] διὰ τοῦτο αὐτό, ἀλλὰ διὰ τὴν ἀποβολὴν τοῦ ο, ὁ τόνος εἰς τὴν προηγουμένην

A συλλαβὴν ἀνέλκεται.

Σχόλια. Τῆς ἀνθρακιᾶς.] ὅτι τῶν σῶν ἀγαθῶν ἀπολαύει. χρησιμεύει γὰρ ἡ ἀνθρακιὰ τῷ χειμῶνι. καὶ τοὺς ἔχοντας, οἱ ἄλλοι περικάθηνται βουλόμενοι εἰσδῦναι.

Σὲ γάρ, ὃς Μήδοισι διεξιφίσω περὶ τῆς χώρας ἐν Μαραθῶνι,
Καὶ νικήσας, ἡμῖν μεγάλως ἐγγλωττοτυπεῖν παρέδωκας,
Ἐπὶ ταῖς πέτραις οὐ φροντίζει σκληρῶς σε καθήμενον οὕτως.
Οὐχ ὥσπερ ἐγὼ ῥαψάμενός σοι τουτὶ φέρω. ἀλλ' ἐπαναίρου,
Κᾆτα καθίζου μαλακῶς, ἵνα μὴ τρίβῃς τὴν ἐν Σαλαμῖνι.
Δημ. Ἄνθρωπε τίς εἶ; μῶν ἔγγονος εἶ τῶν Ἁρμοδίου τις ἐκείνων;
Τοῦτό γε τοὔργον ἀληθῶς γενναῖον, καὶ φιλόδημον.
Κλ. Ὡς ἀπὸ μικρῶν εὔνοις αὐτῷ θωπευματίων γεγένησαι;
Αλλ. Καὶ σὺ γὰρ αὐτὸν πολὺ μικροτέροις τούτων δελεάσμασιν εἷλες.
Κλ. Καὶ μὴν εἴ πού τις ἀνὴρ ἐφάνη τῷ δήμῳ μᾶλλον ἀμύνων,
Ἢ μᾶλλον ἐμοῦ σε φιλῶν, ἐθέλω περὶ τῆς κεφαλῆς περιδόσθαι.
Αλ. Καὶ πῶς σὺ φιλεῖς, ὃς τοῦτον ὁρῶν οἰκοῦντ' ἐν ταῖσι πιθάκναισιν,
Καὶ γυπαρίοις, καὶ πυργιδίοις, ἔτος ὄγδοον, οὐκ ἐλεαίρεις.

*Te, qui cum Medis pugnauisti pro patria, in Marathone,*
*Et qui hoste superato, fecisti, vt nos iam nostra crepemus*
B *Magnificè: te, inquam, in petra hac non sic respicit ille sedentem:*
*Sicut ego, qui hunc fero puluinum tibi: surge popule, surge,*
*Et molliter hic reside: vt ne atteras clunes in Salamine.*
PO. *Quinam es, mi vir? an vnus de istis cognatis Harmodij es tu?*
C *Nam reuera hoc facinus præclarum est, ac valdè populare.*
CL. *Quàm beneuolus ob modicum blandimentum tu factus es illi?*
AG. *At tu populum inescasti antehac multò leuioribus escis.*
CL. *Imò si quisquam alius sit populi, quàm ego, studiosior, aut qui*
D *Te plus, quàm ego, amet: caput ausim & vitam pro hac laude pacisci.*
AG. *Quomodo ames tu populum: quem caua dolia inhabitare vides, &*
*Turriculas atque cauernas: tamen octo annis nil misereris:*

Σχόλια. Διεξιφίσω.] ἐπολέμησας πρὸς τοὺς Μήδους. τοῖς ξίφεσι κατ' αὐτῶν ἐχρήσω. Ἐν Μαραθῶνι.] τόπος
E τῆς Ἀττικῆς εἰς ὃν ἀνώρμησαν Δᾶτις καὶ Ἀρτάβαζος, Μηδικοὶ στρατάρχαι πεμφθέντες ὑπὸ Δαρείου βασιλέως καταδουλώσασθαι τὴν Ἑλλάδα, ἔνθα συμβαλόντες αὐτοῖς οἱ Ἀθηναῖοι Μιλτιάδου στρατηγοῦντος, μόνων Πλαταιέων συμμαχησάντων αὐτοῖς χιλίοις ἀνδράσιν ὡς ἐξισωθῆναι τὴν τῶν Ἀθηναίων δύναμιν τῇ Περσῶν, τοῖς Ἕλλησι τῆς ἐλευθερίας αἴτιοι κατέστησαν, μόνοι ἐξ ἁπάντων τῶν Ἑλλήνων τὸ πρῶτον τῶν Περσῶν διαφθείραντες. Ἐγγλωττοτυπεῖν.] τὴν γλῶσσαν ψοφεῖν τὰ κατορθώματα.
F σεμνολογεῖν τὰ ἐκείνων καὶ ἀεὶ ἐπὶ γλώττης ἔχειν. Ῥαψάμενός σοι τουτὶ φέρω.] παρεπιγραφή. δείκνυσι γὰρ αὐτῷ προσκεφάλαιον, ὅ φησι τῷ δήμῳ παρασκευάσαι ἵνα μὴ ἐπὶ ψιλοῖς τοῖς βάθροις ἐπικαθέζηται, ἀπαρχῆς τὴν περὶ τὸν δῆμον εὔνοιαν δεικνύς. Ἀλλ' ἐπαναίρου.] ἐπανίστασο καὶ ἐπεγείρου, ἵνα ὑποθῶ τῷ καθίσματι τὸ προσκεφάλαιον. Ἵνα μὴ τρίβῃς.] ἵνα μὴ ἐντρίψῃς μηδὲ διαφθείρῃς τὴν ἐν Σαλαμῖνι καμοῦσαν πυγὴν ἐν ναυμαχίᾳ. ἀντὶ δὲ Μαραθῶνος, Σαλαμῖνος μέμνηται, ὅπου ναυ-
G μαχίᾳ Περσῶν περιεγένετο. ἐν Μαραθῶνι δὲ πεζομαχίᾳ. κεῖται δὲ ἡ Σαλαμίς, ὀλίγον πρὸ τῆς Σαλαμῖνος πόλεως, ἱερᾶς Δήμητρος καὶ κόρης. πλήρης οὖσα κατορθωμάτων Ἑλληνικῶν. καὶ γὰρ ἐν ταύτῃ, πολλὰς τῶν Περσῶν Ἀθηναῖοι κατεναυμάχησαν τριήρεις ὀλίγῳ ἀριθμῷ, Θεμιστοκλέους στρατηγοῦντος. ἔνθα καὶ πέτρα Εἰρεσία οὕτω καλουμένη, ὥσπερ διὰ τοῦ ὀνόματος τρόπαιον οὖσα τῆς Ἀττικῆς. ἔστι δὲ καὶ Ἀγέλαστος πέτρα καλουμένη παρὰ τοῖς

Ἀθηναίοις. ὅπου καθίσαι φασὶ Θησέα μέλλοντα καταβαίνειν εἰς ᾅδου. ὅθεν καὶ τοὔνομα τῇ πέτρᾳ. ἢ ὅτι ἐκεῖ ἐ-
E κάθισεν ἡ Δημήτηρ κλαίουσα, ὅταν ἐζήτει τὴν κόρην. ἐρασθεὶς γὰρ Περσεφόνης ὁ Πλούτων ἥρπασεν αὐτὴν κρύφα. Δημήτηρ δὲ μετὰ λαμπάδων νυκτός τε καὶ ἡμέρας κατὰ πᾶσαν τὴν γῆν ζητοῦσα περιήρχετο. μαθοῦσα δὲ παρὰ Ἑρμιονέων ὅτι Πλούτων αὐτὴν ἥρπασεν, ὀργιζομένη θεοῖς κατέλιπεν οὐρανόν. καὶ εἰκασθεῖσα γυναικὶ ἧκεν εἰς Ἐλευσῖνα, ἔνθα ἐπὶ πέτραν ἐκάθισεν τὴν ἀπ' ἐκείνης κληθεῖσαν Ἀγέλαστον. Μῶν ἔγγονος.] μὴ τὸ γένος φησὶ κατάγεις ἀπὸ Ἁρμοδίου καὶ Ἀριστογείτονος. ὁ δὲ δῆ-
F μός ἐστιν ὁ θαυμάζων τὸν ἀλλαντοπώλην ἐπὶ τῇ φιλοτιμίᾳ τῶν καθισμάτων. εἰς Ἁρμόδιον δὲ καὶ Ἀριστογείτονα τὸ γένος ἀνήνεγκεν αὐτοῦ, ἐπεὶ καὶ οὗτοι εὐνοίας πολλάκις ἀπηνέγκαντο δόξαν, ἐπιθέμενοι τοῖς τυράννοις, καὶ τὸν Ἱππίαν διαχειρισάμενοι, ὡς φθάσαντες προείπομεν. τοῦτο γέ τοι πρῶτον ἐπιδείκνυσι τὴν εἰς τὴν πόλιν εὔνοιαν. Ὡς ἀπὸ σμικρῶν.] ἀπὸ βραχέων καὶ τῶν τυχόντων παντάπασι. δελεάσμασιν ἀπάταις. ἰδίως δὲ δέλεαρ καλοῦμεν, τὴν τοῖς ἰχθύσιν ὑποβαλλομένην τρο-
G φὴν εἰς ἀπάτην τοῦ ἀγρευθῆναι. ἀπὸ μεταφορᾶς τῶν ἐκείνων φησίν. εἷλες δὲ ἤγρευσας. ὑποχείριον ἐποίησας. Περιδόσθαι.] συνθήκην θεῖναι. καὶ ἀλλαχοῦ. περίδου καὶ ταχέως ἀνὴρ γένου. καὶ αὖθις. εἰ βούλει περίδου μοι περὶ θυμίτιδος ἁλῶν. τουτέστι συνθήκας ποιησώμεθα. καὶ Ὅμηρος, δεῦρό γε νῦν τρίποδος περιδώμεθα. Ἐν ταῖς πιθάκναις.] ὑποκοριστικῶς μικροῖς πίθοις. πιθοκοίταις. ἐρήμοις τόποις ὅτι διὰ τὸν πόλεμον οἱ Ἀθηναῖοι ἐκ τῶν ἀγρῶν